# Χαιρετισμοί εις τον Άγιο Κοσμά τον Αιτωλό



Κοντάκιον. Ἦχος δ’. Τῇ Ὑπερμάχῳ.
Νεομαρτύρων ἀριστέα τόν πανεύφημον, καί Αἰτωλίας τόν βλαστόν τόν θεοπρόβλητον, ἀνυμνήσωμεν κραυγάζοντες ὁμοφώνως· ταῖς πρεσβείαις σου Κοσμά πρός τόν Φιλάνθρωπον, τούς τιμῶντας σε κινδύνων ἐλευθέρωσον, ἶνα κράζωσι· Χαίροις πάτερ πανένδοξε.

Ἄγγελος παραστάτης, τῆς Ἑλλάδος ἁπᾴσῃς, Κοσμά ἱεροφάντορ ωράθης, (ἐκ γ΄)· καί τῆ σή θεοτρόπω σπουδῇ, Ἀγαρηνῶν ἀφανίζεις διδάγματα· διό σοι χαριστήριον ᾠδήν ἀναβοῶμεν οὕτως·

Χαῖρε, δι’ οὐ ὁ Χριστός ἐδοξάσθη·
Χαῖρε, δι’ οὐ ὁ ἐχθρός κατεπόθη
Χαῖρε, τῆς Αἰτωλίας ὑός ὁ πανένδοξος·
Χαῖρε, τῆς ευσεβείας τροφός ὁ τρισόλβιος
Χαῖρε, στέφος τό παμποίκιλτον Ἱερέων εὐλαβῶν·
Χαῖρε, ῥόδον τό ἀμάραντον τῶν ἁγίων ἀθλητῶν
Χαῖρε, τῶν πενομένων Ἑλλήνων θησαύρισμα.
Χαῖρε, τῶν ἀλλοφύλων ἀπίστων ἀφάνεια
Χαῖρε, στρατείας ἀθέων ἀντίπαλος·
Χαῖρε, χορείας ἁγίων συνόμιλος
Χαῖρε, δι’ οὐ εὐθυμοῦσι τά πλήθη.

Χαῖρε, δι’ οὗ στερεοῦται ἡ πίστις.

Χαίροις πάτερ πανένδοξε.

Βίου τῆς παρθενίας, καί ἁγνείας φιλίας, ἠράσθης ἐκ παιδός ἡλικίας, καί ἀνέδραμες· ἔχων Κοσμά, τάς ἀσκήσεως τόν πόθον ἀκόρεστον, τῷ ὄρει τῆς θεόπαιδος, περιχαρῇς ποτέ κραυγάζων·

Ἀλληλούια.

Γνόφος ὄντως ὁ θεῖος, τόν σόν νοῦν ἐξαισίως, ἀφήρπασε Κοσμά ἐκ γηίνων, καί φιλόθεον θέλων ζωήν, τοῦ Φιλοθέου μονήν πάτερ ὤκησας· διό καί τύπος γέγονας, ἁπάντων τῶν φωνούντων ταύτῃ·

Χαῖρε, ὁ πύκτης τάς εγκρατείας·
Χαῖρε, ὁ μύστης τῆς ἡσυχίας
Χαῖρε, ὁ τῶν μιγάδων κανών ἱερώτατος·
Χαῖρε, ἡ τῶν παρθένων χλαμύς αλουργόχροος
Χαῖρε, ὄρος δυσανάβατον μυστικώνθεοψιών·
Χαῖρε, τόμος ὁ πολύφυλλος απορρή τῶν ἐννοιῶν
Χαῖρε, ὁ ἀποσείσας ἠδέων ἀπόλαυσιν·
Χαῖρε, ὁ διαρρήξας γηίνων ὑπόταξιν
Χαῖρε, ἀγγέλων πάντων ομότροπος·
Χαῖρε, πτωχείας θείας ομόζυγος
Χαῖρε, συνέμπορε τῆς ἁγνείας·
Χαῖρε, ἀντίπαλε τῆς κακίας.

Χαίροις πάτερ πανένδοξε.

Δήγματα ἰοβόλα, λογισμῶν ἁμαρτίας, ἐξήρανας εὐχή τῇ ἁγία, καί παθῶν τάς λυσσώδεις ὁρμάς, τῆς ἀτυφίας θεόφρον χρησάμενος, ῥομφαία διασκεδάσας, πρός τόν Σωτῆρα ἀνακράζων·

Ἀλληλούια.

Εἰ γάρ τῶν ἀσωμάτων κατηυφράνθη ὁ δῆμος, ὁρῶν σου τῆς θεώσεως ὕψος, πώς μή σπεύσῃ βροτῶν ἡ πληθύς, ἐγκωμίοις λόγοις, ἀθλητά, σήμερον τήν μνήμην σου τιμῆσαι καί βοῆσαι σοί τῷ θεοφόρῳ·

Χαῖρε, ὁ βότρυς τῆς ευσεβείας·

Χαῖρε, ὁ ὅρπηξ τῆς ευανδρίας
Χαῖρε, οὐρανίων ναμάτων ὁ κάτοχος·
Χαῖρε, ἐξαισίων χαρίτων ὁ έμπλεως
Χαῖρε, τῶν δαιμόνων ποθῶν τήν κατάπτωσιν·
Χαῖρε, τῶν ἀΰλων ζητῶν τήν κατάπαυσιν
Χαῖρε, τῶν ἐφετῶν θεοφιλώς απολαύσας·
Χαῖρε, τῶν ἡδονῶν ἀνδροπρεπῶς αποστήσας
Χαῖρε, λαμπρόν Τριάδος εκλόγιον·
Χαῖρε, Ἀγίου Ὄρους γεώργιον
Χαῖρε, ἀγάπης τελείας ὁ γνώστης·
Χαῖρε, ζωῆς αἰωνίας εφέτης.

Χαίροις πάτερ πανένδοξε.

Ζῶν ἐν ὄρει ἁγίῳ καί ἐν Πνεύματι θείω, ἐγεύθης δωρεῶν οὐρανίων, καί φωτοχυσίας ἐμπλησθείς, σκοτοδίνην παθῶν τήν ψυχόλεθρον, παμμάκαρ, ἐφυγάδευσας, κραυγάζων νουνεχώς τόν ὕμνον·

Ἀλληλούια.

Ἤρθησαν ὡς λεόντων, οἰμωγαί τῶν στενόντων, τῶν ὄντων ἐν ζυγῶ ἀνδροφόνων, καί ἀνέστης ἐλθεῖν πρός αὑτούς, τήν φωνήν τοῦ Παύλου ἐνωτιζόμενος, τά τοῦ ἑτέρου ἕκαστος ζητείτω· διό βοῶμεν σοι·

Χαῖρε, τό σέμνωμα τῶν ἀγγέλων·
Χαῖρε, τό στήριγμα τῶν μερόπων
Χαῖρε, τῶν ἐχθίστων τυράννων τό ἔλασμα·
Χαῖρε, τῶν ἀλγούντων Ἑλλήνων τό ἔρεισμα
Χαῖρε, ὅτι διεσκέδασας ἀπιστίας τά δεσμά·
Χαῖρε, ὅτι διεθέρμανας ὑποδούλων τάς ψυχάς
Χαῖρε, ἀρνησιχρίστων αἰωνία αἰσχύνη·
Χαῖρε, ὀρθοδοξούντων οὐρανία γαλήνη
Χαῖρε, ψυχῆς ἀνδρεῖον παράρτημα·
Χαῖρε, φαιδρόν ὁσίων διάδημα
Χαῖρε, τό κέρας πιστῶν ὁ ὑψώσας·
Χαῖρε, τά στίφη ἐχθρῶν ὁ τροπώσας.

Χαίροις πάτερ πανένδοξε.

Θηρατῆς θεοκτόνος, ἐθηρεύθη θεόφρον, ἀσκήσει ὑπό σου τῇ συντόνῳ, ὡς στρουθίον γάρ θεῖον Κοσμά, τήν καλλίαν τῆς ψυχῆς ἐθωράκισας, νηστείαις καί δεήσεσι, φωνῶν ἀδιαλείπτως ούτως·

Ἀλληλούια.

Ἱεράν ἐκδημίαν, ἐπιπνεύσει τῇ θεία, ἀνέλαβες τοῦ λύσαι μανίαν, τῶν τέκνων τῆς Ἂγαρ ἀθλητά, τοῦ Αρχιθύτου τήν εὐχήν αἰτούμενος διό καί τό ἀνδράποδον, Ἑλλήνων γένος ἀνεβόα·

Χαῖρε, Αἰτωλίας ὁ γόνος·
Χαῖρε, Μακεδόνων ὁ κόσμος
Χαῖρε, τῆς Ἠπείρου ὁ θεῖος ὑάκινθος·
Χαῖρε, Ἰλλυρίας ἡδύπνοος νάρκισσος
Χαῖρε, Ναύπακτον καί Ἄγραφα ὁ στηρίξας δωρεαῖς·
Χαῖρε, Σκίαθον καί Σκόπελον ὁ τιμήσας διδαχαῖς
Χαῖρε, ὅτι Κερκύρας ἀνεφάνης ἡ φόρμιγξ·
Χαῖρε, ὅτι τῆς Πάργας επεγνώσθης ἡ σάλπιγξ
Χαῖρε, τῆς Ζίτσης ἄσειστον στήριγμα·
Χαῖρε, Κονίτσης ἔνθεον καύχημα
Χαῖρε, Χειμάρρας λαμπτήρ σελασφόρος·
Χαῖρε, Ἑλλάδος ἁπᾴσῃς τό κλέος.

Χαίροις, πάτερ πανένδοξε.

Κήρυγμα εὐσεβείας, τῶν πατρῴων δογμάτων, τήν λύμην καταργοῦν ἀθεΐας, θαρσαλέως πάτερ μελωδῶν, ἀρνησιχρίστων ἐξήρανας ῥεύματα, καί σέβειν τήν Τριάδα τήν ἀγίαν, ἐδίδαξας τούς ἐκβοῶντας·

Ἀλληλούια.

Λέλυνται ἠρτυμένοις τῇ σή χάριτι λόγοις, τῆς Ἄγαρ ἐπινοίας οἱ πλόκοι, καί ὡς τῶν ἀραχνίων ἱστών, τῶν ἀλλοδόξων Κοσμά εὐτελέστερα, συστήματα κατέδειξας, δι᾽ ὁ βοῶμεν σοι ἀσμένως·

Χαῖρε, φανός τῶν Ἰωαννίνων·
Χαῖρε, αὐλός τῶν θεολογούντων
Χαῖρε, τῶν λῃστῶν μετατρέψας τό φρόνημα·
Χαῖρε, φονευτοῦ φανερώσας τό ἔκπτωμα

Χαῖρε, Παύλου ἰσοστάσιος καί ἐκτύπωμα λαμπρόν·
Χαῖρε, φρούριον νεόδμητον τῶν ὁσίων ἀθλητῶν
Χαῖρε, ὅτι προλέγεις Ἑπτανήσων τήν λύσιν·
Χαῖρε, ὅτι προβλέπεις τυραννούντων τήν πτῶσιν
Χαῖρε, Κλαδᾷ προρρήσας τήν ἄνοδον·
Χαῖρε, πολλῶν δηλώσας τήν κάθοδον
Χαῖρε, τόν τῦφον ἐχθρῶν ἐδαφίσας·
Χαῖρε, τόν πλοῦτον γηίνων μισήσας.

Χαίροις πάτερ πανένδοξε.

Μέλι ἀποσταζόντων, σῶν χειλέων τά πλήθη, Ἑλλήνων γηγενῶν κατεκήλεις• διό τῆς σωτηρίας ὁδόν, τοῖς θεολέκτοις σου λόγοις ἐδήλωσας, βροτοῖς θεομακάριστε, τοῖς μελῳδοῦσι σύν σοι οὕτως·

Ἀλληλούια.

Νέος Παύλος ἐφάνης, ἐν ἐσχάτοις τοῖς χρόνοις, ταῖς θείαις ἐκδημίαις καί κόποις, διό Ἀγαρηνῶν, ἀθλητά, τό ἀντίθεον κατέλυσας φρύαγμα, τόν νοῦν πρός τά οὐράνια, ἰθύνας τῶν σοι κραυγαζόντων·

Χαῖρε, ὁ κῆρυξ ὁ θεολόγος·
Χαῖρε, διδάχος ὁ ψυχοτρόφος
Χαῖρε, γυναικός δαιμονώδους λυτήριον·
Χαῖρε, ξυνωρίδος μοιχῶν ἐλεγκτήριον
Χαῖρε, ἄνθος πολυέραστον τό μυρίζον τούς πιστούς·
Χαῖρε, τεῖχος ἀκαθαίρετον τό σκεδάζον τούς ἐχθρούς
Χαῖρε, τῆς εὐσεβείας ἐνσπείρων τόν λόγον·
Χαῖρε, τῆς ἁμαρτίας ἐλαύνων τόν ζόφον
Χαῖρε, πηγή χαρίτων ἀέναος·
Χαῖρε, λιμήν ὁ ὄντως ἀκύμαντος
Χαῖρε, Κοσμά Ἱερέων κοσμήτωρ·
Χαῖρε, Κοσμά κόσμου κόσμος ὁ θεῖος.

Χαίροις πάτερ πανένδοξε.

Ξένον θέαμα ὄντως, τῶν ἀνδρῶν τῶν κακούργων, ἐστράφη ὁ χορός πρός τά κρείττω, ἀκουόντων γάρ λόγον τόν σόν, τῆς ψυχῆς αὐτῶν τό εὐόλισθον, ἠλλοίωσας πανόλβιε, καί ἤρξαντο σοφέ κραυγάζειν·

Ἀλληλούια.

Ὁ θεόφρων προφήτης, ἐν τῆ χώρα Ἠπείρου, ἐδήλωσε τόν λόγον Κυρίου· προϊδών γάρ Λευκάδος βουνούς, ὡς βροτῶν προσφύγια ἄριστα, ηὐλόγησε τά πέρατα, κραυγάζοντος τοῦ πλήθους ταύτᾳ·

Χαῖρε, ἀλλογενῶν ἡ κατάπληξις·
Χαῖρε, ὁμογενῶν ἡ ἀνάψυξις
Χαῖρε, ἡγητόρων Ἑλλήνων τό θάρσος·
Χαῖρε, μισοχρίστων Ἑβραίων τό άλγος
Χαῖρε, τοῦ Σουλίου τύφωμα κατακόψας θαυμαστώς·
Χαῖρε, τῶν ἀθέων γαύρωμα καταστείλας ταχινώς
Χαῖρε, ὅτι συντρέχεις εὐσεβῶν τάς ἀγέλας·
Χαῖρε, ὅτι κλονίζεις ἀσεβῶν τάς καθέδρας
Χαῖρε, λαμπρόν τῆς χάριτος γνώρισμα·
Χαῖρε, σεμνόν τῆς πίστεως τέμενος
Χαῖρε, πτωχῶν ὁμοφύλων τό στόμα·
Χαῖρε, λαῶν ὑποδούλων ἡ γλῶσσα.

Χαίροις πάτερ πανένδοξε.

Πνέων μένεα γένος, θεοκτόνων Ἑβραίων, ἐπόθει ἀνελεῖν σε τόν γόνον, Αἰτωλίας ἀθλητά Κοσμά, ἀλλά Χριστός αὐτῶν προεφανέρωσε, τά ὑποψιθυρίσματα, πιστοῖς τοῖς ἐκβοῶσι οὕτως·

Ἀλληλούια.

Ῥύαξ τῆς εὐσεβείας, ἐκβλυστάνων τό ὕδωρ, ἐφάνης νεωστί τῶν χαρίτων, ἰαμάτων γάρ τόν γλυκασμόν, ἐπιστάζεις τοῖς πᾶσι παναοίδιμε, τοῖς μέλπουσι τήν μνήμην σου τήν ἔνδοξον καί ἐκβοῶσι·

Χαῖρε, τό ῥεῦμα τῶν δωρημάτων·
Χαῖρε, ὁ φύλαξ σεπτῶν δογμάτων
Χαῖρε, γυναικῶν ἀνασπῶν τό φιλόκοσμον·
Χαῖρε, τῶν ἀνδρών κατασπῶν τό φιλόυλον
Χαῖρε, ὅτι ἐθαμβώθησαν ποδηγέται Ἐνετῶν·
Χαῖρε, ὅτι ἐμωράνθησαν ἀρχηγέται δυναστῶν
Χαῖρε, ὁ τῶν πενήτων θεραπεύων τό άχθος·
Χαῖρε, ὁ τῶν πλουτούντων ἀφανίζων τό κράτος

Χαῖρε, Χριστοῦ ὁ θύτης πανάριστος·
Χαῖρε, ἡμῶν ὁ ἕτοιμος έφορος
Χαῖρε, παντοίων θλίψεων ρύστης·
Χαῖρε, δεινῶν ἀφάτων ἡ λύσις.

Χαίροις πάτερ πανένδοξε.

Σάλπιγξ τῆς σωτηρίας, εὐηχούσα τήν νέαν, ἐφάνης τοῦ Χριστοῦ Βασιλείαν· σύ γάρ ταῖς πυκναῖς σου διδαχαῖς, γεηρῶν πόθων μαραίνεις τήν φλόγωσιν, διδάσκων τούς ἀκούοντας, βοᾶν ἀκαταπαύστως ούτως·

Ἀλληλούια.

Τό θανεῖν ἐν τοῖς πόνοις, ἀντί πάντων ἐπόθεις, ζητῶν Ἱερομάρτυς ἀγχόνην, τῶν ἀρχαίων πάτερ ἀθλητῶν, τήν αἵμασι τιμίοις πορφυρίζουσαν, Κοσμά θεοχαρίτωτε, διό σοι πάντες ἐκβοῶμεν·

Χαῖρε, ὁ μάρτυς ὁ θεοφόρος·
Χαῖρε, ὁ μέγας τροπαιοφόρος
Χαῖρε, ὁ προθύμως ζηλώσας τά σκάμματα·
Χαῖρε, ὁ ἐκθύμως ποθήσας παλαίσματα
Χαῖρε, ἐν πυρί καί ὕδατι βαπτισθείς περιχαρώς·
Χαῖρε, ἐν ἁγίῳ Πνεύματι καταπλήξας τόν ἐχθρόν
Χαῖρε, ὅτι δεικνύεις τήν ὁδόν καρτερίας·
Χαῖρε, ὅτι σκεδάζεις τῶν ἀνόμων χορείας
Χαῖρε, ῥεόντων τοῦ βίου ὁ ξένος·
Χαῖρε, δαιμόνων πανούργων ὁ τρόμος
Χαῖρε, πολλῶν ἐπιτόκων τό ἄκος·
Χαῖρε, βροτῶν ὁμοδόξων τό νῖκος.

Χαίροις πάτερ πανένδοξε.

Ὕμνους δοξολογίας, ἀναπέμπεις, ὁδεύων πρός τμῆσιν τῆς σής κᾶρας καί λέγων· Διῆλθον, ὡς φησιν ὁ Δαυΐδ, διά πυρός τῶν ἀνόμων καί ἤγαγε, ἐμέ εἰς τήν ἀνάψυξιν, ὁ Κύριος πρός ὀν κραυγάζω·

Ἀλληλούια.

Φώς φωτίζον τά πλήθη, ἐπεγνώσθης καί στήλη, ἡμᾶς φωταγωγῶν, σή ἀθλήσει· κρουνούς γάρ τῶν αἱμάτων τῶν σῶν, τῶν ἀλλοφύλων ποντίζεις συστήματα, τά

θάμβει συνεχόμενα καί σύν ἡμῖν ἀναβοῶντα·

Χαῖρε, ὁ σύνδρομος τῶν Δικαίων·
Χαῖρε, ὁ ἅγιος τῶν Ἑλλήνων
Χαῖρε, τῶν ὁσίων φαιδρύνας τόν ὅμιλον·
Χαῖρε, τῶν μαρτύρων αὐξήσας τόν θίασον
Χαῖρε, ὅτι επευλόγησας τόν ὁρίζοντα τῆς γης·
Χαῖρε, ὅτι ηὐχαρίστησας τόν διδόντα τήν ζωήν
Χαῖρε, τῶν ἱερέων τόν πανεύοσμον ἴον·
Χαῖρε, τῶν ἀθλοφόρων τό πανεύφημον κλέος
Χαῖρε, νοσούντων ἴαμα ἄμισθον·
Χαῖρε, θαυμάτων ῥεῖθρον ἀείροον
Χαῖρε, κρουνός ἀκενώτων θαυμάτων·
Χαῖρε, αὐλός ἐλευθέρων μερόπων.

Χαίροις πάτερ πανένδοξε.

Χάριτι Παρακλήτου, ἐξ ὑδάτων ἀπαίρει τό σῶμα τό σόν Μᾶρκος καί χαίρει, ὅθεν ὡς χρυσίον χωνευτόν, ὑπό χθόνα τά τέκνα σου ἔκρυψαν, αὐτό θεομακάριστε, βοῶντες εὐσεβῶς τόν ὕμνον·

Ἀλληλούια.

Ψάλλοντές σου τό μέλος, εὐφημοῦμεν τό τέλος τό σόν οι φιλομάρτυρες πάντες, ὡς ἀμνός γάρ Χριστοῦ αὐτοθελώς, διά τήν πίστιν τό αἷμα ἐξέχεας, καί πάντες κατεπλάγησαν φωνοῦντες θεοφόρε τάδε·

Χαῖρε, λαμπρῶν στεφάνων ὁ κτήτωρ·
Χαῖρε, ὁσίων νέων ἡγήτωρ
Χαῖρε, ὁ Ναός τῆς Τριάδος περίσεμνος·
Χαῖρε, ὁ σοφός τῶν ἀνθρώπων διδάσκαλος
Χαῖρε, θεῖον σεμνολόγημα ὀρθοδόξων μοναχῶν·
Χαῖρε, ὕψος δυσαντίβολον ἀρετῶν ὑπερφυῶν
Χαῖρε, τῆς Ἰλλυρίας πιάνας τό ἔδαφος·
Χαῖρε, τῆς Ἐκκλησίας αρδεύσας τήν ἄρουραν
Χαῖρε, ᾠδή Χριστοῦ ὑμνητήριος·
Χαῖρε, ζωῆς ἁγνῆς οἰκητήριον
Χαῖρε, τρυφῆς ἀλήκτου ὁ μέτοχος·
Χαῖρε, τροφῆς ἀγγέλων συνέστιος.

Χαίροις πάτερ πανένδοξε.

Ὦ πανεύφημε πάτερ, Ὀρθοδόξων σεμνότης, Κοσμά ἱερομάρτυς Κυρίου (ἐκ γ΄)· τήν ἐκ βάθους καρδίας μολπήν δεδεγμένος μή παύσῃ πρεσβείαις σου, στηρίζων τούς ὑμνοῦντας σε, τούς τῷ Σωτῆρι εκβοώντας·

Ἀλληλούια.

Κοντάκιον. Ἦχος δ'. Τῆ Ὑπερμάχῳ...
Νεομαρτύρων ἀριστέα τόν πανεύφημον, καί Αἰτωλίας τόν βλαστόν τόν θεοπρόβλητον, ἀνυμνήσωμεν κραυγάζοντες ὁμοφώνως· ταῖς πρεσβείαις σου Κοσμά πρός τόν Φιλάνθρωπον, τούς τιμῶντας σε κινδύνων ἐλευθέρωσον, ἶνα κράζωσι· Χαίροις πάτερ πανένδοξε.